

«Ὥσπερ ἐν οἰκίᾳ θεμέλιος
Τοῦτο ἐν ψυχῇ προσευχή»

*Ὅ,τι εἶναι γιά τό σπίτι*
*τά θεμέλια,*
*τό ἴδιο γιά τήν ψυχή*
*εἶναι ἡ προσευχή.*

Ἅγ. Ἰωάννης ὁ Χρυσόστομος

# Βραδινές προσευχές

**«Τάς ἑσπερινάς ἡμῶν εὐχάς**
**πρόσδεξαι, Ἅγιε Κύριε...»**

# ΕΥΧΕΣ

## Α΄

῾Εσπέρας καί πρωΐ καί μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν καί δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε. Κατεύθυνον τήν προσευχήν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου· καί μή ἐκκλίνῃς τάς καρδίας ἡμῶν εἰς λόγους ἤ εἰς λογισμούς πονηρίας, ἀλλά ρῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τάς ψυχάς ἡμῶν· ὅτι πρός σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί ἡμῶν, καί ἐπί σοί ἠλπίσαμεν· μή καταισχύνῃς ἡμᾶς, ὁ Θεός ἡμῶν. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

(Εὐχή ῾Εσπερινοῦ)



## Β΄

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητός εἶ, Κύριε, ὁ Θεός τῶν Πατέρων ἡμῶν, καί αἰνετόν καί δεδοξασμένον τό ὄνομά σου εἰς τούς αἰῶνας. ᾿Αμήν. Γένοιτο, Κύριε, τό ἔλεός σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπί σέ. Εὐλογητός εἶ, Κύριε, δίδαξόν με τά δικαιώματά σου. Εὐλογητός εἶ, Δέσποτα, συνέτισόν με τά δικαιώματά σου. Εὐλογητός εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τό ἔλεός σου εἰς τόν αἰῶνα· τά ἔργα τῶν χειρῶν σου μή παρίδῃς. Σοί πρέπει αἶνος, σοί πρέπει ὕμνος, σοί δόξα πρέπει, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

(Εὐχή ῾Εσπερινοῦ)

## Γ΄

Παναγία Τριάς, τό ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δή καί ἐπ᾿ ἐμοί τῷ

ἁμαρτωλῷ· στήριξον, συνέτισον τήν καρδίαν μου, καί πᾶσαν περίελέ μου τήν βεβηλότητα· φώτισόν μου τήν διάνοιαν, ἵνα διά παντός δοξάζω, ὑμνῶ, προσκυνῶ καί λέγω· Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

(Ἀπό τό Μέγα Ὡρολόγιον)

## Δ΄

Κύριε οἰκτίρμον καί ἐλεῆμον, μακρόθυμε καί πολυέλεε, ἐνώτισαι τήν προσευχήν ἡμῶν, καί πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τάς καρδίας ἡμῶν, εἰς τό φοβεῖσθαι τό ὄνομά σου τό ἅγιον· διότι μέγας εἶ σύ, καί ποιῶν θαυμάσια· σύ εἶ Θεός μόνος, καί οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε· δυνατός ἐν ἐλέει, καί ἀγαθός ἐν ἰσχύϊ, εἰς τό βοηθεῖν καί παρακαλεῖν καί σῴζειν πάντας τούς ἐλπίζοντας εἰς τό



ὄνομά σου τό ἅγιον. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(Εὐχή Ἑσπερινοῦ)

## Ε΄

Εὐχαριστῶ σοι, Κύριε παντοκράτορ, ὅτι ἠξίωσάς με τό στάδιον τῆς παρελθούσης ἡμέρας διελθεῖν καί τήν ἀρχήν ταύτης τῆς νυκτός κατιδεῖν καί τήν ἑσπερινήν σοι δέησιν προσαγαγεῖν. Δέομαι οὖν σου, φιλάνθρωπε Δέσποτα, πρόσδεξαι τήν δέησιν τοῦ στόματός μου, καί παριδών μου πάντα τά ἁμαρτήματα, τά ἑκούσια καί τά ἀκούσια, διαφύλαξόν με ἀπό ματαίων διαλογισμῶν καί πονηρῶν ἐνθυμήσεων. Παράσχου δέ μοι καί τήν ἐπιοῦσαν νύκτα εἰρηνικήν καί ἀναμάρτητον, καί πάσας τάς ἡμέρας τῆς ζωῆς μου, πρεσβείαις τῆς ἁγίας Θεοτόκου καί πάντων τῶν Ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἀμήν.

(Ἀπό τό Προσευχητάριο Ἀ. Σιμωνώφ)

## ΣΤ΄

**Κ**ύριε ὁ Θεός ἡμῶν, εἴ τι ἥμαρτον ἐν τῇ ἡμέρᾳ ταύτῃ, λόγῳ, ἔργῳ καί διανοίᾳ, πάντα μοι ὡς ἀγαθός καί φιλάνθρωπος συγχώρησον. Ὕπνον εἰρηνικόν καί ἀτάραχον δώρησαί μοι· καί ρῦσαί με ἀπό πάσης ἐπηρείας καί ἐπιβουλῆς τοῦ πονηροῦ. Διανάστησον δέ με ἐν καιρῷ εὐθέτῳ πρός σήν δοξολογίαν. Ὅτι εὐλογητός εἶ σύν τῷ Μονογενεῖ σου Υἱῷ καί τῷ Παναγίῳ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(Ἀπό τό Προσευχητάριο Ἀ. Σιμωνώφ)

## Ζ΄

**Κ**ύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ὁ προσδεξάμενος τά παιδία ἐλθόντα πρός σέ, πρόσδεξαι καί ἐκ τῶν χειλέων ἐμοῦ τοῦ παιδός σου τήν ἑσπερινήν ταύτην δέησιν. Σκέπασόν με ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ἵνα ἐν εἰρήνῃ κοιμηθῶ καί ὑπνώσω· καί διέγειρόν με ἐν καιρῷ εὐθέτῳ πρός σήν



δοξολογίαν, ὡς μόνος ἀγαθός καί φιλάνθρωπος.

(† Ἀρχιμ. Γρ. Ζιγαβηνοῦ)

## Η΄

**Κ**ύριε Ἰησοῦ Χριστέ ὁ Θεός μας, Ἐσύ πού τήν ἁγία σου Μητέρα τήν ἀνέδειξες ἀνώτερη ἀπ' ὅλες τίς ἐπουράνιες Δυνάμεις, Ἐσύ, Πανάγαθε, μέ τίς δικές της πρεσβεῖες καί ὅλων τῶν Ἁγίων σου δεῖξε τήν εὐσπλαχνία σου καί συγχώρησέ με τόν ἀνάξιο δοῦλο σου γιά ὅ,τι ὡς ἄνθρωπος, ἤ μᾶλλον χωρίς ἴχνος ἀνθρωπιᾶς ἁμάρτησα σήμερα, γιά τά ἑκούσια παίσματά μου καί τά ἀκούσια. Συγχώρησέ με καί γιά ὅσα ἔχω διαπράξει ἐν γνώσει καί ἀγνοίᾳ, ἀπό συναρπαγή καί ἀπροσεξία καί ἀπό τήν πολλή μου ραθυμία καί ἀμέλεια. Εἴτε στό ὄνομά σου τό ἅγιο ὁρκίστηκα, εἴτε ἀθέτησα τόν ὅρκο μου ἤ βλασφήμησα μέ τή σκέψη μου, εἴτε μέ κάτι ἄλλο προκάλεσα τή δίκαιη ὀργή σου, ἤ ἔκλεψα, ἤ εἶπα ψέματα, ἤ κάποιος φίλος ζήτησε τή βοή-

θειά μου καί τόν ἀπέφυγα, ἤ κάποιον ἀδελφό μου στενοχώρησα καί πίκρανα, ἤ τήν ὥρα τῆς προσευχῆς καί τῆς ψαλμωδίας ὁ νοῦς μου ὁ πονηρός ἀπασχολήθηκε μέ τά πονηρά καί βιοτικά πράγματα, ἤ περισσότερο ἀπ' ὅ,τι ἔπρεπε ἱκανοποίησα τίς αἰσθήσεις μου, ἤ εἶπα ἀστεῖα ἀνάρμοστα, ἤ ὑπερβολικά γέλασα, ἤ παρασύρθηκα ἀπό τή μάταιη δόξα, ἤ ὑπερηφανεύθηκα, ἤ θαύμασα μάταιη ὀμορφιά καί ἱκανοποιήθηκα ἐσωτερικά, ἤ φλυάρησα λέγοντας ἀνούσια πράγματα, ἤ τό ἐλάττωμα τοῦ ἀδελφοῦ μου περιεργάστηκα καί τόν κατέκρινα, ἐνῶ τά δικά μου ἀναρίθμητα ἐλαττώματα παρέβλεψα, εἴτε τήν προσευχή μου ἀμέλησα, εἴτε κάτι ἄλλο πονηρό ἔβαλα μέ τόν νοῦ μου· ὅλα αὐτά καί ἄλλα ἀκόμα, τά ὁποῖα ἔπραξα καί δέν τά θυμᾶμαι, συγχώρησε, Θεέ μου, σέ μένα τόν ἁμαρτωλό καί ἀνάξιο δοῦλο σου, καί ἐλέησέ με ὡς ἀγαθός καί φιλάνθρωπος, γιά νά κοιμηθῶ καί νά βυθισθῶ σέ ὕπνο εἰρηνικό ὁ ἄσωτος ἐγώ, δοξάζοντας Ἐσένα μαζί μέ τόν Πατέρα καί



τό πανάγιο καί ἀγαθό καί ζωοποιό σου Πνεῦμα, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(Ὁσίου Ἐφραίμ τοῦ Σύρου)

## ΤΡΟΠΑΡΙΑ

Φῶς ἱλαρόν ἁγίας δόξης ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπί τήν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν καί Ἅγιον Πνεῦμα, Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱέ Θεοῦ, ζωήν ὁ διδούς· διό ὁ κόσμος σέ δοξάζει.

Τήν ἡμέραν διελθών εὐχαριστῶ σοι, Κύριε· τήν ἑσπέραν αἰτοῦμαι σύν τῇ νυκτί ἀναμάρτητον παράσχου μοι, Σωτήρ, καί σῶσόν με.

Τάς ἑσπερινάς ἡμῶν εὐχάς πρόσδεξαι, Ἅγιε Κύριε, καί παράσχου ἡμῖν ἄφεσιν ἁμαρτιῶν, ὅτι μόνος εἶ ὁ δείξας ἐν κόσμῳ τήν Ἀνάστασιν.

Ἑσπερινόν ὕμνον προσφέρομέν σοι, Χριστέ, μετά θυμιάματος καί ᾠδῶν πνευματικῶν· ἐλέησον, Σωτήρ, τάς ψυχάς ἡμῶν.

Ἑσπερινόν ὕμνον καί λογικήν λατρείαν σοί, Χριστέ, προσφέρομεν· ὅτι ηὐδόκησας τοῦ ἐλεῆσαι ἡμᾶς διά τῆς Ἀναστάσεως.



